Ακαδημία Αθηνών / Academy of Athens

*τ α ι μεγάλοισι θυρέτροις· τῶν δὲ Δίκη πολύποινος ἔχει κληῖδας ἀμοιβούς* 12.1 *αἱ γὰρ στεινότεραι π λ ῆ ν τ ο πυρὸς ἀκρήτοιο, αἱ δ' ἐπὶ ταῖς νυκτός, μετὰ δὲ φλογὸς ἵεται αἶσα· ἐν δὲ μέσῳ τούτων δαίμων ἣ πάντα κυβερνᾷ* Δημόκριτος 254 *οἱ κακοὶ ἰόντες ἐς τὰς τιμὰς ὁκόσῳ ἂν μᾶλλον ἀνάξιοι ἐόντες ἴωσι, τοσούτῳ μᾶλλον ἀνακηδέες γίγνονται καὶ ἀφροσύνης καὶ θράσεος π ί μ π λ α ν τ α ι.*

**πίνειν.** Πίνω, drink, Ξενοφάνης 1.17-19 *οὐχ ὕβρις π ί ν ε ι ν ὁπόσον κεν ἔχων ἀφίκοιο οἴκαδ' ἄνευ προπόλου μὴ πάνυ γηραλέος. ἀνδρῶν δ' αἰνεῖν τοῦτον ὃς ἐσθλὰ π ι ὼ ν ἀναφαίνει* 22.3 *π ί ν ο ν τ α γλυκὺν οἶνον* Ἵππων 1 *τὰ γὰρ ὕδατα π ι ν ό μ ε ν α πάντα ἐκ τῆς θαλάσσης ἐστίν· οὐ γὰρ δή που τὰ φρέατα βαθύτερα ἢ ἡ θάλασσά ἐστιν ἐξ ὧν π ί ν ο μ ε ν* Δημόκριτος 235.5 *ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ π ί ν ω σ ι ν, αἱ δὲ λῦπαι πολλαί.*

**πίπτειν.** Πέφτω, fall, Ἐμπεδοκλῆς 100.13 *ἀλλά μιν εἴργει ἀέρος ὄγκος ἔσωθε π ε σ ὼ ν ἐπὶ τρήματα πυκνὰ* 104 *ἀραιότατα ξυνέκυρσε π ε σ ό ν τ α* 133.3 *οὐκ ἔστιν πελάσασθαι ἐν ὀφθαλμοῖσιν ἐφικτὸν ἡμετέροις ἢ χερσὶ λαβεῖν, ᾗπέρ τε μεγίστη πειθοῦς ἀνθρώποισιν ἁμαξιτὸς εἰς φρένα π ί π τ ε ι.* || (τά) **πεσόντα.** Πυθαγόρειοι C 3 (DK I 463,13) *τὰ δὲ π ε σ ό ν τ α μὴ ἀναιρεῖσθαι,* ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν.

**πιστεύειν 1.** Πιστεύω/ἔχω ἐμπιστοσύνη, believe/trust, Δημόκριτος 67 *μὴ πᾶσιν, ἀλλὰ τοῖς δοκίμοισι π ι σ τ ε ύ ε ι ν* **2.** Πιστεύω/εἶμαι πεπεισμένος, believe/be confident, Ἀρχύτας 3.12 *π ι σ τ ε ύ ο ν τ ε ς ἀμφότεροι διὰ τούτω τὸ ἶσον ἕξειν.*

**πίστις** (ἀντίθ. *ἀπιστίη*) **1.** Γνώση, knowledge, Παρμενίδης 1.30 *χρεὼ δέ σε πάντα πυθέσθαι ... βροτῶν δόξας, ταῖς οὐκ ἔνι π ί σ τ ι ς ἀληθής* 8.12-28 *οὐδέ ποτ' ἐκ μὴ ἐόντος ἐφήσει π ί σ τ ι ο ς ἰσχὺς γίγνεσθαί τι παρ' αὐτὸ ... ἀπῶσε δὲ π ί σ τ ι ς ἀληθής* Ἐμπεδοκλῆς 71.1 *εἰ δέ τί σοι περὶ τῶνδε λιπόξυλος ἔπλετο π ί σ τ ι ς.* || Φιλόλαος A 13 (DK I 402,12) *Π ί σ τ ι ς* γε μὴν καλεῖται (sc. ἡ δεκάς), ὅτι κατὰ τὸν Φιλόλαον δεκάδι καὶ τοῖς αὐτῆς μορίοις περὶ τῶν ὄντων οὐ παρέργως καταλαμβανομένοις *π ί σ τ ι ν* βεβαίαν ἔχομεν **2.** Ἐμπιστοσύνη, trust, Ἐμπεδοκλῆς 3.10-13 *μήτε*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ